# TEZAUR LITURGIC

## 24 APRILIE

# SLUJBA SF.CUVIOS XENOFONT DE LA XENOFONT-ATHOS

ATENA,2015

www.tezaurliturgic.ro



# 24 ΑΠΡΙΛΙΟΣ
# ΞΕΝΟΦΩΝ ΟΣΙΟΣ ΑΓΙΟΡΕΙΤΗΣ
# ΑΚΟΛΟΥΘΙΑ

## ΜΙΚΡΟΣ ΕΣΠΕΡΙΝΟΣ

Εἰς τό· *Κύριε ἐκέκραξα,* ἱστῶμεν στίχους δ’ καὶ ψάλλομεν τὰ ἑξῆς Στιχηρὰ Προσόμοια. Ἦχος α΄. Πανεύφημοι Μάρτυρες.

Δοχεῖον τοῦ Πνεύματος λαμπρόν, Ξενοφῶν μακάριε, ἀναδειχθεὶς ἐν τῷ Ἄθωνι, πάντας ἐξέπληξας, τῇ ἀκριβεστάτῃ, ἀγωγῇ τοῦ βίου σου, καὶ τῇ ἀγγελικῇ πολιτείᾳ σου· διὸ σὲ ἅπαντες, ὁμοφρόνως μακαρίζομεν, ὡς τῆς θείας Μονῆς σου δομήτορα.

Πάτερ θεόφρον Ξενοφῶν, ὑπάρχων ὁμόψυχος, Ἀθανασίῳ Ὁσίῳ τε, καὶ θείῳ κτίτορι, τῆς Μεγίστης Λαύρας, ὡς αὐτὸς ἐδόμησας, Μονὴν περικαλλῆ καὶ πανθαύμαστον, ἐν Ὄρει Ἄθωνι, καὶ αὐτὴν χαίρων ἀνέθηκας, Γεωργίῳ τῷ Μεγαλομάρτυρι.

Υἱὸς τῆς Παρθένου ποθητός, μάκαρ ἐχρημάτισας, ὡς καθαρός τε καὶ πάντιμος, ὑπάρχων Ὅσιε, ἐλεημοσύνης, τὸ λαμπρὸν ὑπόδειγμα, πτωχείας τῆς Χριστοῦ φίλε γνήσιε, ποιμένων ἄριστε, ἀγελάρχα συμπαθέστατε, μοναζόντων φωστὴρ διαυγέστατε.

*Δόξα. Ἦχος α΄.*

Πάτερ Ξενοφῶν, ἐξεχύθη ἡ χάρις τοῦ Παναγίου Πνεύματος ἐν τῇ διανοίᾳ σου· διὸ καὶ ἐχρημάτισας ἄγρυπνος ὀφθαλμός, νοῦς ἀκοίμητος, εὔλαλος

γλῶσσα, ἀκοὴ γλυκυτάτη· ἡ δὲ χείρ σου κάλαμος γραμματέως ὀξυγράφου, καλλιγραφοῦσα τὰ πρὸς εἰρήνην. Πρέσβευε, κτιτόρων λαμπρότατε, ὑπὲρ τῆς τιμώσης σε ποίμνης, δωρηθῆναι αὐτῇ τὸ μέγα ἔλεος.

*Καὶ νῦν. Θεοτοκίον.*

Ἁμαρτωλῶν τὰς δεήσεις προσδεχομένη, καὶ θλιβομένων στεναγμὸν μὴ παρορῶσα, πρέσβευε τῷ ἐξ ἁγνῶν λαγόνων Σου, σωθῆναι ἡμᾶς, Παναγία Παρθένε.

*Εἰς τὸν Στίχον. Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.*

Πάντων τῶν μοναστῶν, ἀθροίσθητε τὰ στίφη, ἐν τῇ τοῦ Ξενοφῶντος, Μονῇ τοῦ ἑορτάσαι, τὴν ἑορτὴν τοῦ κτίτορος.

Στ.: *Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.*

Φαιδρότητι ψυχῆς, καὶ γνώμῃ φιλαρέτῳ, Χριστοῦ τῇ Ἀναστάσει, τιμήσωμεν συμφώνως, τὸν τῆς Μονῆς δομήτορα.

Στ.: *Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.*

Ἐκλάμπουσιν ἡμῖν, ἀστέρες σελασφόροι, ὁ μέγας ἐν Ὁσίοις, σὺν τῷ τροπαιοφόρῳ, λαμπρῷ Μεγαλομάρτυρι.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Ὁδήγει ἀσφαλῶς, Παντάνασσα Μαρία, πρὸς τρίβους σωτηρίας, τοὺς ἐν τῇ μάνδρᾳ ταύτῃ, τὸν βίον διανύοντας.

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Απολυτίκιον. Ἦχος γ΄. Θείας πίστεως.*

Ὁσιότητος, τὸν χαρακτῆρα, ταπεινώσεως, θεῖον λαμπτῆρα, ἀληθῶς ὦ Ξενοφῶν σὲ γινώσκομεν, τὴν γὰρ ζωὴν τῶν Αγγέλων ἐβίωσας, και ἐν τῷ Ἄθω Μονὴν θείαν ἤγειρας, Πάτερ Ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

*Δόξα. Ὁ αὐτός. Τὴν ὡραιότητα.*

Τὸ ὑπερθαύμαστον, τῆς πολιτείας σου, καὶ εὐγενέστατον, Πάτερ τῆς θείας σου, καὶ πανεντίμου βιοτῆς, τίς λόγος διηγήσεται; ὅτι τὰ οὐράνια, ἐπιγείοις συνήρμοσας, ἄσειστον θεμέλιον, τῇ Μονῇ σου γενόμενος, καὶ βάσις ἀσφαλής, Ξενοφῶν Ὅσιε, πρέσβευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Καὶ νῦν. Τῆς Ἑορτῆς.*

*Ἀπόλυσις.*

## ΜΕΓΑΣ ΕΣΠΕΡΙΝΟΣ

Εὐλογήσαντος τοῦ ἱερέως, ὁ Προοιμιακός, καὶ τό· *Μακάριος ἀνήρ.* Εἰς δὲ τό· *Κύριε ἐκέκραξα,* ἱστῶμεν στιχοὺς στ’, καὶ ψάλλομεν τὰ ἑξῆς Στιχηρὰ Προσόμοια. Ἦχος α΄. Ὢ τοῦ παραδόξου θαύματος.

Ὢ τοῦ παραδόξου θαύματος! ὡς ἀστὴρ ἐφάνης, ἐν Ἄθωνι Ὅσιε, αὐγάζων τῇ βιοτῇ σου τοὺς θεόφρονας. Ἀγάλλεται ἡ πληθύς, τῶν μοναζόντων ἐν σοὶ ἁγιώτατε, τιμῶσα πανευλαβῶς, σῶν ἀρετῶν τὰ σεπτὰ

κατορθώματα, καὶ χαρμονικῶς βοᾷ σοι· Πάτερ συμπαθέστατε, ἐσαεὶ τὴν σὴν ποίμνην, ἐν εἰρήνῃ διαφύλαττε.

Δεῦρο Ἀθλοφόρων πρώτιστε, πάρεσο ἐν μέσῳ, τῆς χορείας σήμερον, φαιδρὸς συμπαραλαβών, τὸν σὸν θεράποντα· Μονὴν γάρ σοι θαυμαστήν, ὁ ἱερὸς Ξενοφῶν ἐχαρήσατο, ἣν φρούρει διαπαντός, χειραγωγῶν πρὸς οὐράνιον ἄνοδον, τοὺς τῶν μονοτρόπων βίον ᾧδε διανύοντας, ἀξιῶν καὶ τῆς ἄνω, κληρουχίας καὶ λαμπρότητος.

Τίς σου τὴν θερμὴν ἀγάπησιν, πρὸς τὴν Θεοτόκον, ἐξειπεῖν δυνήσεται; Τὴν ἄπειρον ἐκ ψυχῆς στοργὴν ἣν ἔσχηκας, βιώσας ἀγγελικῶς, ὑπὸ τὴν σκέπην αὐτῆς τὴν ὑπέρλαμπον, ἐδρέψω πλουτοποιά, ἁγιοσύνης ἐνθέου χαρίσματα· ὅθεν τοὺς τῇ σῇ εἰκόνι, εὐλαβῶς προσπίπτοντας, διατήρει ἀτρώτους, τῶν βελῶν τοῦ πολεμήτορος.

*Ἕτερα. Ἦχος β΄. Ποίοις εὐφημιῶν.*

Ποίων, ὑμνωδιῶν ἄνθεσιν, νῦν τὸν στέφανον προσοίσωμέν σοι, Πάτερ Ξενοφῶν παναοίδιμε; ἄλλον γὰρ Παράδεισον ἔδειξας, ταύτην τὴν Μονήν, ἣν ἐδομήσω ἁγνείας, ὑπογραμμός τε καὶ σεμνότητος, εἰρήνης, εἰκὼν καὶ τύπος ἀκριβέστατος, κατοικητήριον θεῖον, τῆς Τριάδος ὤφθης, ἐγκρατείας καθηγητής, ποιμὴν ἀξιάγαστος, ἄγων πάντας πρὸς εὐσέβειαν.

Πλοῦτος, ὡς ἀληθῶς πέφυκας, τοῖς προστρέχουσι τῇ ἀρωγῇ σου, ἐλεημοσύνης τὰς χάριτας, πᾶσι διανέμων τοῖς χρήζουσι· πάντας ὑπερβὰς τῇ συμπαθείᾳ, ἣν ἔσχες, καὶ τῇ ἀγάπῃ πρὸς τοὺς πένητας, ἐγένου, δικαιοσύνης οἰκητήριον· εὐγενεστάτῃ καρδίᾳ, καὶ φαιδρῷ προσώπῳ, τοῖς πατράσι συνομιλῶν, χορείαν ἰσάγγελον εὐσεβῶς, μάκαρ συνέστησας.

Κόπους τε καὶ ἱδρῶτας πάντιμε, οὓς ἐξέχεας ἐν γῇ βιώσας, ἅπαντες ἡμεῖς εὐλαβούμεθα, οἱ τοῖς σοῖς ἀγῶσιν ἑπόμενοι. Μακαρίζομέν σε θείῳ ζήλῳ, τοιαύτην, τὴν ἱερὰν Μονὴν συστήσαντα, καὶ μήτραν ἁγιοτόκον ἀναδέιξαντα. Κατασπαζόμεθα πόθῳ, σὰς τιμίας χεῖρας, δυσωποῦντες πανευλαβῶς, εὑρεῖν ἡμᾶς ἔλεος, ἐν ἡμέρᾳ Πάτερ τῆς Κρίσεως.

*Δόξα. Ἦχος πλ. β΄.*

Ἀνέτειλε σήμερον, φαιδρὰ καὶ χαρμόσυνος ἡμέρα, ἅμα τῇ Χριστοῦ Ἀναστάσει, καὶ τῇ πανηγύρει τοῦ Ἀθλοφόρου Γεωργίου, ἡ πανένδοξος μνήμη τοῦ θεοφόρου Ξενοφῶντος, συγκαλοῦσα ἅπαντας πρὸς ἑορτὴν πνευματικήν, ᾄδοντας τὰ ὑπὲρ φύσιν αὐτοῦ ἀγωνίσματα. Δεῦτε οὖν φιλέορτοι πάντες, εἰς τὴν περίλαμπρον ταύτην Μονήν, μετὰ πόθου καὶ χαρᾶς συνδράμωμεν, καὶ τὸν αὐτῆς δομήτορα ᾀσματικῶς εὐφημήσωμεν. Χαίροις, ὁ ἐν Ὁσίοις μέγιστος φανείς· χαίροις, τὸ ἡμέτερον καύχημα, καὶ τοῦ Ὄρους Ἄθωνος φαιδρὸν ἀγαλλίαμα· πάρεσο νῦν ἐν μέσῳ ἡμῶν ἀοράτως, προεξάρχων τῆς χορείας τῶν σῶν

ἐκγόνων, χορηγῶν ἡμῖν, τὴν ἐξ ὕψους βεβαίαν ἀντίληψιν.

*Καὶ νῦν. Τῆς Ἑορτῆς.*

*Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας. Ἀναγνώσματα.*

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.(Κεφ. γ' 1)*

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καί γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτόν, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καί ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.(Κεφ. ζ'.7)*

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.(Κεφ. ε' 15)*

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην· καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν.

Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας· πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου, τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται· καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης· ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς, καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς. Ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

*Λιτή. Ἦχος α΄.*

Τίς οὐ θαυμάσει ὡς ἀληθῶς, τὴν σὴν ἀνδρείαν καρτερόψυχε, ἢ τίς τῶν ἀρετῶν σου, τὰ κατορθώματα διηγήσεται; Σὺ οὖν ὡς καλὸς ποδηγέτης, τοὺς ἐν μετανοίᾳ τῇ σῇ Μονῇ. Προστρέχοντας, περιθάλπων θερμοτάτῃ στοργῇ, πρὸς οὐρανὸν ὡδήγησας ὁσιώτατε, καὶ ὡς μέλισσα σοφή, τὸ τῆς ἀσκήσεως μέλι συνάγων, ἅπαντας τοῖς λόγοις σου ἐξέθρεψας· ὅθεν, θεαρέστως βιοτεύσας, τῶν σῶν καμάτων τὰ γέρα παρὰ Κυρίου ἀπείληφας, καὶ πρεσβεύεις διηνεκῶς, ὑπὲρ τῆς τιμώσης σε ποίμνης, τοῦ σώζεσθαι αὐτήν, ἐκ παντοίων περιστάσεων.

*Ἦχος β΄.*

Πεφυτευμένος ἐν ταῖς αὐλαῖς τοῦ Κυρίου σου, καὶ ἐν τῇ σκιᾷ τῶν πτερύγων, τοῦ ἐνδόξου Ἀθλοφόρου Γεωργίου τοῦ Μάρτυρος, ἐξήνθησας Πάτερ, ὡς φοῖνιξ ἐν ἐρήμῳ, καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ, ἐπλήθυνας τὸ ποίμνιον Χριστοῦ, ἀναδείξας τοῦτο ἐρηρεισμένον στεῤῥῶς, ἐπὶ τὴν πέτραν τῶν Χριστοῦ θελημάτων· διὸ πατέρων Πάτερ ἀξιοθαύμαστε, ἡμῶν δὲ προστάτα καὶ ἔφορε, μὴ διαλίπῃς ταῖς ἱκεσίαις ταῖς σαῖς, περιφρουρῶν ἀπὸ παντοίων κινδύνων, ταύτην τὴν μάνδραν, ἣν ἐν Κυρίῳ ἐστερέωσας.

*Ἦχος γ΄.*

Ἀνέτειλε σύνδρομος τῇ τοῦ Χριστοῦ Ἀναστάσει, ἡ πανευφρόσυνος αὕτη, καὶ λαμπρὰ πανήγυρις, συγκαλοῦσα ἅπαντας τοὺς ἐγκρατείᾳ ἀσκουμένους, ἐν τῷ τερπνῷ τῆς πανάγνου λειμῶνι, πρὸς εὐωχίαν μυστικήν, καὶ δοξολογίαν τοῦ Ποιητοῦ τῶν ἁπάντων. Οὗτος γὰρ θαυμαστῶς ἐδόξασε, τὸν Ὅσιον αὐτοῦ, καὶ τοῦτον ἐστεφάνωσε, δωρούμενος ἡμῖν ἀκαταίσχυντον πρέσβυν, καὶ θερμὸν ἀντιλήπτορα, ἐν ταῖς τοῦ βίου περιστάσεσι.

*Δόξα. Ἦχος πλ. α΄.*

Τῶν ἀσκητῶν τὸ κλέος, ἐγκρατείας τὸν λύχνον, τὸν ἄριστον ποιμένα, καὶ ἀγάπης τὸν πρόβολον· ἁγνείας τὸ ἄνθος, σωφροσύνης τὸ ἄγαλμα, πραότητος τὸν θησαυρόν, τῶν μοναζόντων κανόνα ἀκριβέστατον· πασῶν τῶν χαρίτων τοῦ Πνεύματος τὴν πηγήν, ὁμοφρόνως πάντες τιμήσωμεν καὶ πρὸς αὐτὸν

χαρμονικῶς ἐκβοήσωμεν· χαίροις, ὁ ἐν ταπεινώσει τὸν Θεὸν θεραπεύσας, καὶ ὑπ' αὐτοῦ δοξασθείς· χαίροις, ὁ πιστὸς οἰκονόμος καὶ φρόνιμος, ὁ ἐπαυξήσας τὸ τάλαντον, κατὰ τὴν ἐντολὴν τοῦ Κυρίου σου· συνάγαγε Πάτερ, ἐν οὐρανῷ τὰ τέκνα σου ἅπαντα, ὅπως ἀεὶ ἐντρυφῶμεν, τῷ κάλλει τοῦ Σωτῆρος ἡμῶν.

*Καὶ νῦν. Τῆς Ἑορτῆς.*

*Εἰς τὸν Στίχον. Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.*

Χαίροις, τῶν μοναζόντων τρυφὴ τῶν ἐν τῷ Ἄθῳ ὀφθαλμὸς ὁ ἀκοίμητος, ὁ πᾶσι τοῖς δεομένοις, ἐπίκουρος συμπαθής, ὁ γλυκὺς τοῖς τρόποις καὶ ἡδύτατος, σεμνός τε καὶ μέτριος, ταπεινὸς καὶ ἡσύχιος, εἰρήνης τύπος, καὶ εἰκὼν καθαρότητος, ἁγιότητος, τὸ λαμπρὸν οἰκητήριον, σάλπιγξ ἡ διηχήσασα, τοῦ κόσμου τοῖς πέρασι, ὡς ἀληθῶς εὐφροσύνη, καὶ εὐωδία ἀνείκαστος, λατρεύειν ὁσίως, ὁμοούσιον Τριάδα, τὴν ὑπερύμνητον.

Στ.: *Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.*

Χαίροις, ἀγγελικῆς βιοτῆς ἀκριβεστάτη τε τελεία ἐνσάρκωσις, ἡ θύρα τῆς σωτηρίας, ποιμαντορίας ὀρθῆς, γνώμων τε καὶ τύπος ἀληθέστατος, λαμπὰς καιομένη, εἰς μοναστῶν παραμύθιον, νάμα γλυκάζον, νοητὰ αἰσθητήρια, ἀγαθότητος, ἀνεξάντλητον πέλαγος, ὄργανον εὐηχέστατον, κινύρα ἡδύμολπος, ῥιπιζομένων ἡ βάσις, χειμαζομένων ἀντίληψις·

ἅπαντων τῷ πόθῳ τῇ Μονῇ σου προστρεχόντων, Ξενοφῶν στήριγμα.

Στ.: *Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.*

Πάντων, τῶν ἐπὶ σοὶ εὐλαβῶς, θεμένων Πάτερ τὰς ἐλπίδας ἐπάκουσον, καὶ ῥῦσαι δεινῶν παντοίων, καὶ συμφορῶν τὰς ὁρμάς, παῦσον θεοφόρε καὶ τὰ σκάνδαλα, παρέχων εἰρήνην, ἀγαθοσύνην καὶ ἔλεος, τοῖς ἐν τῷ Ὄρει, τῷ τοῦ Ἄθω μονάζουσι ὁδηγῶν ἡμᾶς, ἐπὶ τρίβους χρηστότητος· ὅπως ὁμοῦ βιώσαντες, καὶ δρόμον τελέσαντες, τύχοιμεν ἅμα τῆς θείας ἀκαταλήπτου μεθέξεως, αἰνοῦντες ἀπαύστως, τὴν πανύμνητον Τριάδα, ἐν ἑνὶ στόματι.

*Δόξα. Ἦχος πλ. δ΄.*

Τάδε λέγει ὁ ποιμὴν τοῖς ἀσκουμένοις· τεκνία, φόβον Θεοῦ κτησώμεθα, ἁγιωσύνην ζηλώσωμεν, ἀγγελικὴν διαγωγὴν ἐπιδείξωμεν· ὅπως τῶν Ὁσίων τοῖς ἴχνεσιν ἑπόμενοι, εὐσεβῶς πολιτευθῶμεν, καὶ τῶν ἀμαραντίων στεφάνων, πάντες ἀξιωθῶμεν· ἀψευδὴς γὰρ ὁ ἐπαγγειλάμενος, ὅτι ὁ μετ’ ἐμοῦ συσταυρούμενος, ἐμοὶ συνδοξασθήσεται.

*Καὶ νῦν. Τῆς Ἑορτῆς.*

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Απολυτίκιον. Ἦχος γ΄. Θείας πίστεως.*

Ὁσιότητος, τὸν χαρακτῆρα, ταπεινώσεως, θεῖον λαμπτῆρα, ἀληθῶς ὦ Ξενοφῶν σὲ γινώσκομεν, τὴν γὰρ ζωὴν τῶν Αγγέλων ἐβίωσας, και ἐν τῷ Ἄθω Μονὴν

θείαν ἤγειρας, Πάτερ Ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

*Δόξα. Ὁ αὐτός. Τὴν ὡραιότητα.*

Τὸ ὑπερθαύμαστον, τῆς πολιτείας σου, καὶ εὐγενέστατον, Πάτερ τῆς θείας σου, καὶ πανεντίμου βιοτῆς, τίς λόγος διηγήσεται; ὅτι τὰ οὐράνια, ἐπιγείοις συνήρμοσας, ἄσειστον θεμέλιον, τῇ Μονῇ σου γενόμενος, καὶ βάσις ἀσφαλής, Ξενοφῶν Ὅσιε, πρέσβευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Καὶ νῦν. Τῆς Ἑορτῆς.*

*Ἀπόλυσις.*

## ΟΡΘΡΟΣ

*Μετὰ τὴν α᾽ Στιχολογίαν,*

*Κάθισμα. Ἦχος α΄. Τὸν Τάφον Σου Σωτήρ.*

Ἐπέφανεν ἡμῖν, ἡ τοῦ ἔαρος χάρις, προχέουσα πιστοῖς, μυστικὴν εὐωδίαν, λειμῶνι γὰρ ἐξήνθησαν, ἀρδευθέντα τῷ Πνεύματι, τῆς Μονῆς ἡμῶν, τὰ πανευφρόσυνα ἄνθη, ὁ λαμπρότατος, καὶ ἀγλαόμορφος Μάρτυς, συνάμα τῷ κτήτορι.

*Δόξα. Καὶ νῦν. Τῆς Ἑορτῆς.*

*Μετὰ τὴν β᾽ Στιχολογίαν,*

*Κάθισμα. Ἦχος γ΄. Θείας πίστεως.*

Κράτος ἔνθεος, ἠμφιεσμένος, ἐχρημάτισας, τοῦ Παρακλήτου, ἱερὸν καὶ φωτοφόρον παλάτιον, καθοδηγῶν μοναστὰς πρὸς ἐπίγνωσιν, καὶ πρὸς Θεοῦ

ἐντολῶν τὴν ἐκπλήρωσιν, Πάτερ Ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

*Δόξα. Καὶ νῦν. Τῆς Ἑορτῆς.*

*Μετὰ τὸν Πολυέλεον,*

*Κάθισμα. Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.*

Ἀναβάσεις πρὸς Θεόν, ἔθου σοφὲ τῇ σῇ ψυχῇ· ὅθεν ὥδευσας στεῤῥῶς, τὴν μακαρίαν βιοτήν, ἀμφιασάμενος τὴν ἀρετῶν διπλοΐδα· ἡμῖν δ' ὑπογραμμὸν καταλέλοιπας, τὸ πρᾶον τὸ σεμνὸν καὶ ἡσύχιον, τὸ ταπεινὸν τοῖς τρόποις τὸ πρὸς ὕψος, τοῦ Παραδείσου ἀνάγον ἡμᾶς· διὸ σὲ πάντες ἀνευφημοῦμεν, ὡς τῆς ἀσκήσεως πρόβολον.

*Δόξα. Καὶ νῦν. Τῆς Ἑορτῆς.*

Εἶτα, οἱ Ἀναβαθμοί· τὸ α' Ἀντίφωνον τοῦ δ΄ ἤχου.

Προκείμενον: *Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.*

Στ.: *Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.*

Εὐαγγέλιον Ὁσιακόν.

Ὁ Ν' ψαλμός.

Δόξα: *Ταῖς τοῦ Σοῦ Ὁσίου...*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*

Ἰδιόμελον. Ἦχος πλ. β΄. Στ.: *Ἐλέησόν με ὁ Θεός...*

Ὅσιε Πάτερ, σὺ ἀληθῶς τῆς μακαρίας φωνῆς, ἤκουσας τῆς λεγούσης· εὖ δοῦλε ἀγαθὲ καὶ πιστέ, πολιτευθεὶς γὰρ ἀμέμπτως, ἐν ταῖς αὐλαῖς τοῦ Κυρίου σου, τὸ δοθέν σοι τάλαντον ἐπηύξησας· διὸ νῦν ἐν

οὐρανοῖς σκηνώσας, πρεσβεύεις ἀπαύστως ὑπὲρ τῆς ποίμνης σου.

Εἶτα, οἱ Κανόνες· τῆς Ἑορτῆς καὶ τοῦ Ὁσίου, οὗ ἡ ἀκροστιχίς:*Αἶνον ᾄδω χαρᾶς τῷ Ξενοφῶντι. Ταπεινὸς Α.*

*ᾨδὴ α΄. Ἦχος α΄. Ἀναστάσεως ἡμέρα.*

Ἀνατέταλκε φωσφόρος καὶ λαμπρὰ ἑορτή, ἅμα τῇ Ἀναστάσει, καὶ τῇ τοῦ Μάρτυρος χαρᾷ, ἡ τοῦ κτίτορος φαιδρὰ πανήγυρις νῦν· συμφώνως οὖν ᾄσωμεν, εὐσεβῶς ἀγαλλόμενοι.

Ἱλαρύνεις τὰς καρδίας τῶν ἐκ πόθου πρὸς σέ, Ὅσιε προστρεχόντων, εὐωδιάζων μυστικῶς, ταῖς ὀσμαῖς τῶν ἀρετῶν ἡμὰς τοὺς τὴν σήν, τελοῦντας πανήγυριν, χαρμοσύνως πανόλβιε.

Νῦν ἐπέφανεν ἡμέρα εὐφροσύνης πιστοί, δεῦτε εὐωχηθῶμεν· ὡς γὰρ ἀείζωος πηγή, τῶν θαυμάτων τὴν πληθὺν προχέει ἡμῖν, ὁ μέγιστος Ὅσιος, τῆς Μονῆς ἡμῶν ἔφορος.

*Θεοτοκίον.*

Ὁ Νυμφίος ὁ ἐκ τάφου ἀνατείλας φαιδρός, δεῦτε κράζει ὀπίσω, ἀκολουθήσατε ἐμοῦ, οἱ τοῦ κόσμου τὰ τερπνὰ λιπόντες σοφῶς· ἰσχὺς γὰρ ἡ πάναγνος, ὑμῖν πᾶσι γενήσεται.

*ᾨδὴ γ΄. Δεῦτε πόμα πίωμεν καινόν.*

Νέμεις χαρισμάτων δωρεάς, τοῖς ἐκ πόθου τελοῦσί σου τὸ μνημόσυνον, ὦ Ξενοφῶν ἱερέ, ἀνάγων εἰς ὕψος νοητόν, τοὺς πίστει τιμῶντάς σε.

Ἄφθονον πηγάζεις χαρμονήν, συμπαθείᾳ τοῖς πένησι χαριζόμενος, καλλιγραφεῖς ταῖς ψυχαῖς, τὸν τόμον τῶν θείων ἐντολῶν, τοῦ Πνεύματος Ὅσιε.

Δεῦτε μοναζόντων ἡ πληθύς, τὸν σοφὸν ποιμενάρχην ἐγκωμιάσωμεν, καὶ γὰρ αὐτὸς δαψιλῶς, ἐκχέει χρηστότητος κρουνούς, καὶ ῥῶσιν χαρίζεται.

*Θεοτοκίον.*

Ὢ Παρθενομῆτορ Μαριάμ, τὸν Υἱόν Σου καὶ Κύριον ἐκδυσώπησον, χαρᾶς ἀῤῥήτου ἡμᾶς, πληρῶσαι φωτὶ δὲ ἀρετῶν, αὐγάσαι τὸν κλῆρόν Σου.

*Κάθισμα. Ἦχος πλ. δ΄. Τὴν σοφίαν καὶ λόγον.*

Τῇ τοῦ Πνεύματος χάριτι καθαρθείς, καὶ κανὼν μονοτρόπων ἀναδειχθείς, προσήνεγκας Ὅσιε, ὥσπερ δῶρον τῷ Κτίστῃ σου, πληθὺν ἀσκουμένων, θυμίαμα εὔοσμον, στρατιὰν Ὁσίων, χορὸν θεοσύλλεκτον· ὅθεν εἰς αἰῶνας, ἐν σκηναῖς τῶν δικαίων, αὐλίζῃ μακάριε, τῷ Θεῷ παριστάμενος, ἀνακράζων γηθόμενος· δόξα Σοι Χριστὲ Βασιλεῦ, ὁ ἀναστὰς ἐκ τοῦ τάφου τριήμερος, καὶ δοξάζων ἀπαύστως τοὺς Ἁγίους Σου.

*Δόξα. Καὶ νῦν. Τῆς Ἑορτῆς.*

*ᾨδὴ δ΄. Ἐπὶ τῆς θείας φυλακῆς.*

Χαρμονικῶς ἐπὶ τὴν σὴν νῦν προσδραμόντες ἑορτήν, ᾄσωμεν χορεύσωμεν πάντες, εὐλαβῶς προσπίπτοντες τῇ σῇ εἰκόνι Ὅσιε, νέμεις γὰρ ἰαμάτων πελάγη, καὶ κατευνάζεις παθῶν ἀγρίαν κάμινον.

Ἄνωθεν Πάτερ εὐμενῶς, σὴν πολυσέβαστον Μονήν, φρούρησον ἀνάδειξον ταύτην, εὐαγῆ κατάπαυσιν καὶ σωτηρίας πρόξενον, πάντων τῶν προστρεχόντων ἐν ταύτῃ, καταξιῶν καὶ τῆς θείας ὡραιότητος.

Ῥῦσαι δεινῶν ἐπιφορῶν, καὶ ἀδοκήτων πειρασμῶν, πάντας τοὺς κροτοῦντας ἐν ὕμνοις, σὴν φαιδρὰν πανήγυριν, καὶ θυμηδίας πλήρωσον, σώματα καὶ καρδίας θεόφρον, τῶν εὐλαβῶς προσιόντων τῷ τεμένει σου.

*Θεοτοκίον.*

Ἀπειρογάμως ἐν γαστρί, ἔσχες τὸν σύμπαντα δρακί, Δέσποινα Παρθένε κρατοῦντα, τὸν ἐκ τάφου σήμερον, θεοπρεπῶς ἐκλάμψαντα· τοῦτον ἀκαταπαύστως δυσώπει, τῆς αἰωνίου χαρᾶς καταξιῶσαι ἡμᾶς.

*Ὠδὴ ε΄. Ὀρθρίσωμεν ὄρθρου βαθέως.*

Συνέλθωμεν πάντες προθύμως, οἱ ἐν τῷ Ἄθῳ μονασταὶ σκιρτῶντες ἐν ευφροσύνῃ, καὶ τὸν μέγαν Ὅσιον φαιδρῶς εὐφημήσωμεν, ἅμα Γεωργίῳ τῷ Μάρτυρι.

Τρυφήσωμεν τῆς οὐρανίου, τοῦ Ξενοφῶντος βιοτῆς τὰς χάριτας καθορῶντες, τὰ λαμπρὰ παλαίσματα, τοὺς κόπους τοὺς ἱδρῶτάς τε, οὕσπερ τῷ Κυρίῳ προσήνεγκε.

Ὡράϊσον τοὺς τὴν σεπτήν σου, ὦ ποιμενάρχα Μονὴν ὡραΐζοντας καθ’ ἑκάστην, καὶ μετόχους ποίησον τῆς οὐρανίου χάριτος, τοὺς ζήλῳ σὲ θεραπεύοντας.

*Θεοτοκίον.*

Ξενήκουστα καὶ ὑπὲρ λόγον, τὰ τῆς λοχείας τῆς Σῆς ἀνερμήνευτα Θεομῆτορ· ὅθεν τοὺς ὁδεύοντας τὴν ξένην τρίβον πάναγνε, σκέπασον Μῆτερ, ὡς ποίμνην Σου.

*ᾨδὴ στ΄. Κατῆλθες ἐν τοῖς κατωτάτοις.*

Ἐφάνης, τοῖς ῥῶσιν ζητοῦσιν ἰσχύς, πλανωμένοις ὁδηγός, καὶ κανὼν μοναζόντων θεοειδέστατος, παμμακάριστε· ὅθεν πάντες εὐλαβῶς, σοῦ τὴν μνήμην τιμῶμεν.

Νοήσας, τοῦ βίου τὸν ἄστατον ῥοῦν, ἐπὶ πέτραν τῶν Χριστοῦ, θελημάτων ἑδραίωσας τὴν καρδίαν σου, ἁγιώτατε, τῆς σῆς ποίμνης ἀῤῥαγές, ἀσφαλέστατον τεῖχος.

Ὁ πρᾶος, καὶ γνήσιος φίλος τοῦ Χριστοῦ, ὁ πολὺς τοῖς οἰκτιρμοῖς, ὁ θερμὸς ἀντιλήπτωρ, τῶν ἀρετῶν τὸ κλεινὸν οἰκητήριον, ὁ ἐν βίῳ θαυμαστός, Ξενοφῶν εὐφημείσθω.

*Θεοτοκίον.*

Φυλάττεις, τὴν ποίμνην Σου Κόρη ἀεί, ἐκ παντοίων πειρασμῶν, συμπαθῶς ὁδηγοῦσα πρὸς βίον κρείττονα καὶ θεάρεστον, ἀπειρόγαμε, τῶν πιστῶν καταφυγή, τῆς Μονῆς ἡμῶν σκέπη.

*Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.*

Τὴν παναρμόνιον κιθάραν τὴν ἐξάκουστον, τὴν ἡδυφθόγγοις ἁρμονίαις μελῳδήσασαν, ἀρετῶν ἐνθέων,

μέλος τοῖς ἀσκουμένοις· τὸν ἐν πράξεσιν ὀφθέντα οὐρανόφρονα, ἀνυμνήσωμεν συμφώνως οἱ θεόφρονες, τούτῳ κράζοντες· Χαίροις Πάτερ ἰσάγγελε.

*Ὁ Οἶκος.*

Ἀγγελώνυμον βίον ἐπὶ γῆς βιοτεύσας, Ἀγγέλων ταῖς χορείαις συνήφθης, καὶ ταῖς ὑπερκοσμίαις αὐγαῖς, καταφαιδρύνεις μοναστῶν τὴν διάνοιαν· διὸ ὑμνοῦμεν ἅπαντες τὴν πολιτείαν σου βοῶντες·

Χαῖρε, Πατέρων ἡ ὡραιότης·
χαῖρε, Ὁσίων ἡ κοσμιότης.
Χαῖρε, τῆς Μονῆς σου δομήτωρ πανσέβαστε·
χαῖρε, τῆς σῆς ποίμνης προστάτα πανάριστε.
Χαῖρε, ὅτι δοξαζόμενος, ἁγιάζεις νῦν ἡμᾶς·
χαῖρε, ὅτι ἀνυμνούμενος, ἱλαρύνεις τὰς ψυχάς.
Χαῖρε, Πάτερ Πατέρων ἱερώτατον κλέος·
χαῖρε, ὁ τὰς καρδίας πάντων τέρπων ἡδέως.
Χαῖρε, φρουρὲ πιστῶν καὶ κραταίωμα·
χαῖρε, τρυφὴ μοναστῶν καὶ στερέωμα.
Χαῖρε, ἡμῶν ὁ ἀγαθὸς ποιμενάρχης·
χαῖρε, ὑμνῳδιῶν οὐρανίων χοράρχης.
Χαίροις, Πάτερ ἰσάγγελε.

*Συναξάριον.*

Τῇ ΚΔ΄ τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ Ὁσίου Ξενοφῶντος, τοῦ κτήτορος τῆς φερωνύμου Μονῆς ἐν Ἁγίῳ Ὄρει.

*Κτήτωρ συ Μονῆς τοῦ κλεινοῦ Ἀθλοφόρου*
*δειχθεὶς αὐλίζῃ ἐν μοναῖς οὐρανίαις.*

*ᾨδὴ ζ΄. Ὁ Παῖδας.*

Ὡς ὄρθρος, ἀληθῶς φαεινότατος, ἀνέτειλας Ὅσιε, πᾶσι τοῖς πρὸς σέ, ἐν ἀγαπήσει θεϊκῇ, ἀκλινῶς μετὰ πόθου προστρέχουσι, ἐκλάμπων αὐτοῖς τῶν χαρισμάτων, ἀκτῖσι παμμακάριστε.

Ναός, τοῦ Παρακλήτου ὑπέρφωτος, ἐγένου μακάριε, σὺ γὰρ ἐν ἀσκήσει, ἐναρέτῳ λογισμῷ, καὶ σεμνῇ πολιτείᾳ ἐδόξασας, τὸν πάντα δρακὶ περικρατοῦντα, καὶ τρέφοντα τὰ σύμπαντα.

Ταμεῖον, ἀρετῶν ἐχρημάτισας, ψαλτήριον εὔηχον, λύχνος ἀπαθείας, ἰαμάτων ποταμός, μοναζόντων θεμέλιον ἄῤῥηκτον, στηρίζον σαλευομένας καρδίας, ἰσχύϊ τῇ τοῦ Πνεύματος.

*Θεοτοκίον.*

Ἰάτρευσον, ψυχῆς μου τὰ τραύματα, Μῆτερ ἀπειρόγαμε, πέλεις γὰρ ἀεί, χειραγωγία τοῖς πιστῶς, ἀληθῆ Θεοτόκον, φρονοῦσί Σε, φρουροῦσα διὰ παντὸς Σαῖς πρεσβείαις, τοὺς πόθῳ ἀνυμνοῦντάς Σε.

*ᾨδὴ η΄. Αὕτη ἡ κλητή.*

Τάχυνον ἐπίσκεψαι ταύτην τὴν ποίμνην, ἧς ὤφθης ποιμενάρχης, καὶ κατ᾽ ἀξίαν δομήτωρ, περισκέπων ἀεί, ἐκ παντοίων πειρασμῶν καὶ θλίψεων, ἡμᾶς τοὺς συμφώνως, σὴν μνήμην ἐκτελοῦντας.

Ἄριστόν σε μέγα πλουτοῦντες προστάτην, δεόμεθα παμμάκαρ, τῆς σῆς σεπτῆς παρουσίας, μὴ στερήσῃς ἡμᾶς, συμπαθοῦς τε πρὸς Θεὸν ἱκεσίας σου· φυλάττων ἀπαύστως, τοὺς πίστει σε τιμῶντας.

Ποίησον μετόχους τῆς θείας σου δόξης, ἀφθάρτου Βασιλείας, καταξιῶν ἡμᾶς Πάτερ, τοὺς σεμνὴν βιοτήν, ἐπὶ γῆς ἐκλεξαμένους φυλάξασθαι· προστάτης γὰρ πέλεις, τοῖς ᾧδε ἀσκουμένοις.

*Θεοτοκίον.*

Ἔπαρον ἁγνὴ τὰς ἀχράντους Σου χεῖρας, ὑπὲρ ἡμαρτηκότων πρὸς τὸν Υἱὸν καὶ Θεόν Σου, καὶ ἐλέους τυχεῖν, ἐν ἡμέρᾳ τῆς ἐτάσεως αἴτησαι· ὑπάρχεις γὰρ Μήτηρ, τῶν Σοὶ προσπεφευγότων.

*ᾨδὴ θ΄. Φωτίζου, φωτίζου.*

Ἰάσεων ῥεῖθρα, Πάτερ πηγάζεις συμπαθῶς, καὶ χαρίτων πελάγη, σὺν τῷ θείῳ Μάρτυρι· καθαγιάζοντες πάντας πιστούς, τοὺς εἰς ὑμᾶς πᾶσαν τὴν ἐλπίδα, ἀναθεμένους μακάριοι.

Νικήσας γενναίως, τοῦ ἀρχεκάκου τὰς βουλάς, νῦν εὐφραίνῃ ἐν δήμοις τῶν δικαίων Ὅσιε· χαίρων αὐλίζῃ, Ἀγγέλων χοροῖς, πάντας ὁρῶν ὄμματι εὐσπλάγχνῳ, τοὺς μνήμην Σὴν ἑορτάζοντας.

Οἰκήτωρ ὡράθης, πρῶτος καὶ μέγιστος ὁμοῦ, τῆς Μονῆς Σου παμμάκαρ, Πατέρων ἀγλάϊσμα· ὅθεν αὐτὴν περισκέπεις ἀεί, ἀποσοβῶν ταῖς σαῖς ἱκεσίαις, τοῦ πολεμήτορος σκάνδαλα.

Σαλπίσατε ὄρη, ἐν τῇ τοῦ Ἄθωνος χαρᾷ, καὶ σκιρτήσατε πόθῳ, μοναστῶν ὁ σύλλογος, γλῶτταν τρανοῦντες εὐήχοις ᾠδαῖς, χαρμονικῶς νῦν ἀνευφημοῦντες, Ξενοφῶντα τὸν μέγιστον.

*Θεοτοκίον.*

Ἀπείρανδρε Μῆτερ, εὐλογημένη Μαριάμ, τοὺς τὸ Ὄρος οἰκοῦντας, τὸ Σον παναμώμητε, σκέπασον φρούρησον νῦν καὶ ἀεί, ὅπως καλῶς βιώσαντες πάντες, χαρᾶς ἀῤῥήτου πλησθείημεν.

*Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.*

Τὸν ἄριστον διδάσκαλον, καὶ μέγιστον ἐν θαύμασιν, ἀνευφημήσωμεν πάντες, ὡς χαρισμάτων ταμεῖον, ἡμῶν δὲ περιτείχισμα, καὶ πύργος ἀσφαλέστατον, τοῦ Παρακλήτου ὄργανον, καὶ τῆς Μονῆς ταύτης πρέσβυν, πρὸς τὸν Θεὸν ἀεννάως.

*Ἕτερον. Τοῖς Μαθηταῖς συνέλθωμεν.*

Τοῦ Ξενοφῶντος ἅπασαν, ἡ χορεία σκιρτάτω, φαιδρῶς πανηγυρίζουσα ἑορτὴν λαμπροτάτην, τοῦ ἑαυτῆς ποιμενάρχου, τοῦ συστήσαντος ταύτην, καὶ συγκαλεῖται χαίρουσα, τοὺς τοῦ Ἄθω πατέρας, πανευλαβῶς, ᾄσαι τὰ παλαίσματα καὶ τοὺς πόνους, οὓς ὑπὲρ φύσιν ἤνυσε, ὡς Κυρίου θεράπων.

*Καὶ τὸ τῆς Ἑορτῆς.*

*Αἶνοι. Ἦχος α΄. Τῶν οὐρανίων Ταγμάτων.*

Τὸν ἐραστὴν τῆς Τριάδος Ὁσίων πρόκριτον, τῆς πανυμνήτου Κόρης, γνησιώτατον φίλον, τὸν λόγῳ τε καὶ πράξει θεοφιλεῖ, εὐαρέστως βιώσαντα, ἀνευφημήσωμεν λέγοντες ἐκ ψυχῆς· χαίροις Πάτερ ἁγιώτατε.

Δεῦτε φιλέορτοι πάντες πανηγυρίσωμεν, ἐν τῇ τοῦ Ἀθλοφόρου, ἱερᾷ πανδαισίᾳ, συμφώνως ἀνυμνοῦντες τὸν κραταιόν, τῆς Μονῆς ἀντιλήπτορα, καὶ ἀκαταίσχυντον πρέσβυν πρὸς τὸν Θεόν, Ξενοφῶντα τὸν πανθαύμαστον.

Ἀγάλλου σκίρτα καὶ χαῖρε Ὄρος τοῦ Ἄθωνος, ὅτι τῷ σῷ λειμῶνι, εὐωδέστατα κρίνα, ἐξήνθησαν ὁσίως καὶ θαυμαστῶς, τὸν δὲ Κτίστην κατηύφρανον, ἐξ ὧν ὁ θεῖος καὶ δίκαιος Ξενοφῶν, ὁ τῆς Μάνδρας ταύτης ἔφορος.

Τῇ ἀνεκφράστῳ καὶ θείᾳ μάκαρ λαμπρότητι, καὶ τῇ ἀκαταλήπτῳ, ἐντρυφῶν θεοπτίᾳ, ἡμῶν τῶν σὲ τιμώντων μνείαν ποιοῦ, ποιμενάρχα ἰσάγγελε, ὅπως ταῖς σαῖς ἱκεσίαις τῶν ἀγαθῶν, τῶν ἐκεῖσε ἀπολαύσωμεν.

*Δόξα. Ἦχος πλ. α΄.*

Σαλπίσωμεν ἐν σάλπιγγι ᾀσμάτων, χορεύσωμεν ἑόρτια καὶ σκιρτήσωμεν εὐφραινόμενοι, ἐν τῇ πανσέπτῳ πανηγύρει τοῦ ποιμενάρχου ἡμῶν, μοναστῶν συστήματα συναθροίσθητε καὶ τὸν θεοφόρον αἰνέσωμεν συμφώνως, ὡς Χριστοῦ θεράποντα, τῆς Μονῆς ἡμῶν δομήτορα, καὶ τῆς ἄνω Βασιλείας οἰκήτορα. Ποιμένες ὁσιώτατοι, τὸν ἐν πολλῇ συνέσει σοφώτατον ποιμένα, συνελθόντες εὐφημήσωμεν· οἱ διψῶντες τὸν ποταμόν, οἱ ἀστατοῦντες τὴν βάσιν, οἱ ἐν πειρασμοῖς τὴν ἐλπίδα, οἱ πλανώμενοι τὴν ὁδόν, οἱ ἐκκλίνοντες τὸν ὀρθὰ φρονοῦντα, τὴν προστασίαν οἱ ἐν κινδύνοις, τὴν

σωτηρίαν οἱ ἐν ἀνάγκαις. Ἁπάντων Χριστιανῶν τὸ καταφύγιον, ὕμνοις παναρμονίοις ἐγκωμιάζοντες οὕτως εἴπωμεν· πανόσιε διδάσκαλε, φρούρησον τῇ πρεσβείᾳ σου, τοὺς τῇ Μονῇ σου οἰκοῦντας καὶ σῶσον τὴν ποίμνην σου, ταῖς
ἱκεσίαις σου.

*Καὶ νῦν. Τῆς Ἑορτῆς.*

*Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.*

*Μεγαλυνάριον.*

Χαίροις τῶν Ὁσίων ὁ μιμητής, καὶ Ἄθωνος Ὄρους ὁ λαμπρότατος οἰκιστής, Ξενοφῶν πατέρων, ὡράϊσμα καὶ κλέος, ἡμῶν δὲ προστασία, καὶ τεῖχος ἄῤῥηκτον.

